ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ

# ΙΕΡΑ ΕΠΑΡΧΙΑΚΗ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΚΡΗΤΗΣ

## Εἰδική Δέησις

## διά τήν προστασίαν ἡμῶν

## ἐκ τῆς εὑρούσης ἡμᾶς Λοιμικῆς Νόσου

*(Συνάπτεται πρό τῆς Ἀπολύσεως τῆς Θείας Λειτουργίας καί τῆς Ἀκολουθίας τῶν Χαιρετισμῶν εἰς τήν Ὑπεραγίαν Θεοτόκον)*

*Ὁ ἱερεύς·* Ἐλέησον ἡμᾶς κατά τό μέγα ἔλεός Σου, δεόμεθά Σου ἐπάκουσον καί ἐλέησον.

*Ὁ Λαός·* Κύριε, ἐλέησον (τρίς).

*Ὁ ἱερεύς·* Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί Ὀρθοδόξων Χριστιανῶν.

*Ὁ Λαός·* Κύριε, ἐλέησον (τρίς).

*Ὁ ἱερεύς·* Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.... καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

*Ὁ Λαός·* Κύριε, ἐλέησον (τρίς).

*Ὁ ἱερεύς·* Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί Ὀρθοδόξων Χριστιανῶν τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ καί ὑπέρ ἀναρρώσεως πάντων τῶν ἀσθενούντων καί τῶν ἐν λοιμοῖς καί θλίψεσιν εὑρισκομένων ἀδελφῶν ἡμῶν.

*Ὁ Λαός·* Κύριε, ἐλέησον (τρίς).

**Ὁ ἱερεύς·** Ἔτι δεόμεθα καί ὑπέρ τοῦ εἰσακοῦσαι Κύριον τόν Θεόν, φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καί ἐλεῆσαι ἡμᾶς.

***Ὁ Λαός·*** Κύριε, ἐλέησον.

**Ὁ ἱερεύς·** Τοῦ Κυρίου δεηθῶμεν.

***Ὁ Λαός:*** Κύριε, ἐλέησον.

**Ὁ ἱερεύς:** Δέσποτα Παντοκράτορ, Ἰατρέ τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, ὁ ταπεινῶν καί ἀνυψῶν, ὁ παιδεύων καί πάλιν ἰώμενος, τούς ἀδελφούς ἡμῶν, τούς κατά τήν ἐσχάτως ἐνσκήψασαν πανδημίαν ἀσθενοῦντας ἐπίσκεψαι, ἐν τῷ ἐλέει καί τοῖς οἰκτιρμοῖς σου.

Ἔκτεινον τόν βραχίονά σου τόν πλήρη ἰάσεως καί θεραπείας, καί ἴασαι αὐτούς, ἐξανιστῶν ἀπό κλίνης καί ἀρρωστίας, τῷ θείῳ ἐλέει Σου.

Ἐπιτίμησον τῷ πνεύματι τῆς ἀσθενείας· ἀπόστησον ἀπ᾽ αὐτῶν πᾶσαν πληγήν, πᾶσαν ἀλγηδόνα, πᾶσαν μάστιγα, πάντα πυρετόν ἤ ῥῖγος· καί εἴ τι ἔστιν ἐν αὐτοῖς πλημμέλημα, ἤ ἀνόμημα, ἄνες, ἄφες, συγχώρησον διά τήν σήν φιλανθρωπίαν.

Ναί, Κύριε, φεῖσαι τοῦ πλάσματός σου, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ Παναγίῳ καί Ἀγαθῷ, καί Ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

***Ὁ Λαός:*** Ἀμήν.



***Ὁ Ἱερεύς ποιεῖ τήν Ἀπόλυσιν τῆς Θείας Λειτουργίας ἤ τῆς Ἀκολουθίας.***